
14-12-2026.

ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΗΧΟΣ Γ΄


† Μνήμη τῶν Ἁγίων Μαρτύρων, Θύρσου, Λευκίου, Καλλινίκου, Φιλήμονος, † Ἀπολλωνίου, Ἀρριανοῦ καὶ τῶν σὺν αὐτῷ.

Ἦχος δ΄ Δι



Στίχος 1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. (Τὸ ὡς ἄνω)

Στίχος 2. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.




Στίχος 3. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τὸ ὡς ἄνω)


Ἀπολυτίκιον τῶν Ἀσωμάτων

Ἦχος δ΄


Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι, τειχίσητε ἡμᾶς, σκέπῃ τῶν πτερύγων, τῆς ἀΰλου ὑμῶν δόξης, φρουροῦντες ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας· Ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς, ὡς Ταξιάρχαι τῶν ἄνω Δυνάμεων.


Ἦχος πλ. δ΄ Δι












Τὸ αὐτὸ.

Καὶ νῦν...

Ἦχος δ΄.

Τῇ Δευτέρᾳ πρωΐ εἰς το Θεός Κύριος


Τῇ ἀνατραφείσῃ ἐν τῷ ναῷ, εἰς τὰ Ἅγια τῶν Ἁγίων, τῇ περιβεβλημένῃ τὴν πίστιν καὶ τὴν σοφίαν, καὶ τὴν ἄμεμπτον παρθενίαν, ὁ Ἀρχιστράτηγος Γαβριήλ, προσέφερεν οὐρανόθεν τὸν ἀσπασμόν, καὶ τὸ Χαῖρε, Χαῖρε Εὐλογημένη, χαῖρε δεδοξασμένη, ὁ Κύριος μετὰ σοῦ.








την α μεμ πτον παρ θε νι ι αν ο Αρ χι


στρα τη γος Γα βρι ηλ προ σε φε ρεν ου ρα



νο θεν τον α σπα σμον και το χαι α αι αι ρε


χαι ρε Ευ λο γη με νη χαι ρε δε δο ξα


σμε ε νη ο Κυ ριος μετα σου ου ου


Δευτέρα πρωΐ.
Ἦχος γ΄.
Μετὰ τὴν α΄ Στιχολογίαν
Καθίσματα Κατανυκτικά

Παροικοῦσα ἐν τῇ γῇ, ψυχή μου μετανόησον, χοῦς ἐν τάφῳ οὐχ ὑμνεῖ, πταισμάτων οὐ λυτροῦται, βόησον Χριστῷ τῷ Θεῷ. Καρδιογνῶστα ἥμαρτον, πρίν με καταδικάσῃς, φεῖσαί μου ὁ Θεός, καὶ ἐλέησόν με.




Στιχ. Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ἕως πότε ψυχή μου, ἐπιμένεις τοῖς πταίσμασιν, ἕως τίνος λαμβάνεις, μετανοίας ὑπέρθεσιν, λάβε κατὰ νοῦν τὴν κρίσιν τὴν μέλλουσαν, καὶ βόησον Χριστῷ τῷ Θεῷ, Καρδιογνῶστα ἥμαρτον, ἀναμάρτητε Κύριε, ἐλέησόν με.



Δόξα... Καὶ νῦν... *Θεοτοκίον*

Χαῖρε Μαρία Μήτηρ καὶ Παρθένε, τὸ ὄρος τὸ ἅγιον, ὁ ἐν Ἐδὲμ Παράδεισος, ἐξ ἧς ἐτέχθη Χριστὸς ὁ Θεὸς ἄνευ σπορᾶς ὁ μόνος, δι΄ οὗ ζωὴ τῷ κόσμῳ ἐβλάστησε.




Μετὰ τὴν β΄ Σπιχολογίαν

Ἕτερα Καθίσματα. Ἦχος γ΄.


Ἐπὶ τῆς δίκης τῆς φοβερᾶς ἄνευ κατηγόρων ἐλέγχομαι, ἄνευ μαρτύρων κατακρίνομαι· αἱ γὰρ βίβλοι τοῦ συνειδότος ἀναπτύσσονται, καὶ τὰ ἔργα τὰ κεκρυμμένα ἀνακαλύπτονται, πρὶν οὖν ἐν ἐκείνῳ τῷ πανδήμῳ θεάτρῳ, μέλλῃς ἐρευνῆσαι τὰ ἐμοὶ πεπραγμένα· ὁ Θεὸς ἱλάσθητί μοι, καὶ σῶσόν με.




πραγ με να ο Θε ος ι λα σθη τι μοι και σω ω σον με

Στιχ. Ἐπίβλεψον ἐπ΄ ἐμὲ καὶ ἐλέησόν με κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Φοβερὸν δικαστήριον περιμένει με Κύριε· ἐμοῦ γὰρ σιωπῶντος, βοῶσι τὰ ἔργα μου, ἀλλὰ προφθάσας, πεπλανημένον ζήτησον Χριστὲ ὁ Θεός, διὰ τῆς μετανοίας, καὶ σῶσόν με.


Φο βε ρο ον δι κα στη ρι ον πε ρι με ε νει με Κυ ρι ι ε ε μου γαρ σι ω πων τος βο ω σι ι τα ερ γα α μου αλ λα προ φθα σας πε πλα νη με νον ζη τη σον Χρι στε ο Θε ος δι α της με τα νοι ας και σω ω σον με

Δόξα... Καὶ νῦν... Θεοτοκίον.

Θείας πίστεως.

Θεία γέγονας, σκηνὴ τοῦ Λόγου, μόνη πάναγνε, Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα, τὸν ὑπὲρ πάντας ἐμὲ οὖν γενόμενον ῥερυπωμένον, σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐνθέοις νάμασι παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

Μετὰ τὴν γ΄ Στιχολογίαν

Καθίσματα ἕτερα

Ἦχος γ΄

Τὴν ὡραιότητα τῆς παρθενίας σου


Τὰ ἐπουράνια, καὶ τὰ ἐπίγεια, λόγῳ παρήγαγες, ὡς παντοδύναμος, οἱ τῶν Ἀγγέλων δὲ χοροί, σὺν τρόμῳ παρεστηκότες, ἄπαυστον τὴν αἴνεσιν, σοὶ προσφέρουσι Δέσποτα, πάντα καταυγάζοντες, τῷ φωτί σου τὰ πέρατα, δι΄ ὧν σοὶ καὶ ἡμεῖς ἐκβοῶμεν· Σῶσον ἡμᾶς τῇ εὐσπλαγχνίᾳ σου.

Μαρτυρικὸν

Στιχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Τὸ εὔψυχον τῆς καρτερίας ὑμῶν, ἐνίκησε

τὰ μηχανήματα τοῦ ἀρχεκάκου ἐχθροῦ, Ἀθλοφόροι πανεύφημοι· διὰ τοῦτο τῆς αἰωνίου κατηξιώθητε μακαριότητος, ἀλλὰ πρεσβεύσατε τῷ Κυρίῳ, τοῦ φιλοχρίστου λαοῦ σῶσαι τὸ ποίμνιον, Μάρτυρες ὑπάρχοντες τῆς ἀληθείας.



Δόξα... Καὶ νῦν... Θεοτοκίον

Ἦχος γ΄. Τὴν ὡραιότητα

Τὰ ἐπουράνια, φόβῳ ἠγάλλοντο καὶ τὰ ἐπίγεια τρόμῳ ηὐφραίνοντο, ὅτε ἡ ἄχραντος φωνή, ὑπῆλθέ σοι Θεοτόκε· μία γὰρ πανήγυρις, ἀμφοτέροις ἐπέλαμψεν, ὅτε τόν πρωτόπλαστον, ὁ Δεσπότης ἐρρύσατο, διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Εἶτα ἀναγινώσκεται ὁ Ν΄ ψαλμὸς

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Κανὼν Κατανυκτικὸς
Ὠδὴ α΄. Ἦχος γ΄. Ὁ Εἱρμὸς.

Φαραὼ τὰ ἅρματα, βυθῷ καλύψας Κύριε τὴν θάλασσαν διέρρηξας, καὶ ἔσωσας ᾄσμασιν ὑμνοῦντά σε, λαὸν Ἰσραηλίτην.

Στίχ. **Δ**όξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐγκλημάτων ῥῦσαί με, μυρίων ἀναμάρτητε ἀφρόνως ὧν περ ἔπραξα, παρέχων μοι δάκρυα κατανύξεως, καθὼς ποτὲ τῇ Πόρνῃ.

Στίχ. **Δ**όξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Γεγονότα σπήλαιον, λῃστῶν ἀτόποις πράξεσι, δι΄ ἀρετῶν ἀνάδειξον φιλάνθρωπε, οἶκόν σου ὁ θελήματι, τεχθεὶς ἐν τῷ

Θεοτοκίον

Στίχ. **Ὑ**περαγία Θεοτόκε, σῶσον ἡμᾶς.

Παναγία ἄχραντε, ἁμαρτωλῶν βοήθεια, πιπτόντων ἐπανόρθωσις, μετάνοιαν δίδου μοι, κατανύξεως, πολλὰ ἡμαρτηκότι.

Κανὼν τῶν Ἀσωμάτων

Ὠδὴ α΄ .

Ἦχος γ΄

Ἆσμα καινόν

Στίχ. Ἄρχάγγελοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἄναρχον φῶς καὶ περιεκτικόν, φάους ὑπάρχων παντὸς Χριστὲ ὁ Θεός, τὴν ἐμὴν διάνοιαν, τῇ ἐπιστασίᾳ φωταγώγησον, τῶν σῶν Δυνάμεων.

Στίχ. Ἄρχάγγελοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Γεγηθότες ἀγγελοπρεπῶς, τῇ πανολβίῳ μεθέξει, οἱ τῶν Ἀγγέλων χοροί, τῆς σῆς κρυφιότητος, τοῖς ὡραιοτάτοις ἐναστράπτονται, θείοις χαρίσμασιν.

Στίχ. Ἄρχάγγελοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ὡς ἀγαθὸν καὶ ζωοποιόν, ἀγαθοδότως τὸ Πνεῦμα, πανσθενὲς τοῦ Πατρός, οὐρανῶν τὴν δύναμιν, ἐν ἀμεταπτώτοις ἐστερέωσε, θείαις λαμπρότησι

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ταξιαρχῶν θεῖε Γαβριήλ, ταῖς Ἀσωμάτοις χορείαις, καὶ νῦν πανόλβιε, φωνὴν τὴν χαρμόσυνον, τῇ Κεχαριτωμένῃ ἀναβόησον· Χαῖρε Πανάμωμε.

Ὁ Κανὼν τῶν Ἁγίων.
Ὠδὴ α΄
Ἦχος πλ. β΄
«Ὡς ἐν ἠπείρῳ πεζεύσας

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Μαρτυρικαῖς ἀγλαΐαις τῷ θεϊκῷ, θρόνῳ παριστάμενοι, καὶ ταῖς θείαις ἀστραπαῖς, Ἀθληταὶ λαμπόμενοι ἡμᾶς, τοὺς ὑμνοῦντας τὴν ὑμῶν μνήμην φωτίσατε.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Κάλλος τὸ θεῖον ποθοῦντες, βίου τερπνά, εἰς οὐδὲν ἡγήσασθε, Ἀθλοφόροι τοῦ Χριστοῦ, καὶ θανόντες σώματι ζωήν, ἀτελεύτητον εὑρεῖν κατηξιώθητε.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Τῆς ἀθεΐας τὴν πλάνην θεοπρεπῶς, ἀθλοφόροι Μάρτυρες, στηλιτεύσαντες πολλῶν, πόνων ὑπεμείνατε πυράν, καὶ τὴν ἄπονον ζωὴν νῦν ἀπειλήφατε.

Δόξα...

Ταῖς ὑπερφώτοις ἀκτῖσι τοῦ παντουργοῦ, ἐλλαμφθεὶς σὺ Πνεύματος, ἀθεΐας τὸ βαθύ, σκότος ἐξηφάνισας Χριστοῦ, ἀθλοφόρε θαυμαστέ, Θύρσε μακάριε.

Καὶ νῦν... *Θεοτοκίον*

Τὸν ἀπερίγραπτον Λόγον περιγραπτόν, γεγονότα σώματι, ἀπεκύησας Ἁγνὴ ὃν δυσώπει ῥύσασθαι φθορᾶς, καὶ παθῶν ἐπαγωγῆς, τοὺς σὲ δοξάζοντας.

Κανὼν Κατανυκτικὸς,
Ὠδὴ γ΄
Ἦχος γ΄
Ὁ Εἱρμὸς

Στερέωσον Κύριε, τὰς καρδίας ἡμῶν, καὶ φώτισον εἰς τὴν σὴν ὑμνῳδίαν, τοῦ δοξάζειν σε Σωτὴρ εἰς τοὺς αἰῶνας.

Στίχ. **Δ**όξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὡς Πέτρον βυθιζόμενον, διέσωσας φιλάνθρωπε, οὕτως ἐκ τοῦ βυθοῦ με, τῶν κακῶν μου ἐπανάγαγε.

Στίχ. **Δ**όξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Νεκρώσας με ὁ δόλιος, τοῖς πάθεσιν ἀπέκτεινεν, αὐτός με ζωοδότα, μετανοίας τρόποις ζώωσον.

Θεοτοκίον

Στίχ. **Ὑ**περαγία Θεοτόκε, σῶσον ἡμᾶς.

Μαρία κυριώνυμε, πολλοῖς κυριευθέντα με, πάθεσι ψυχοφθόροις, ἐλευθέρωσον πρεσβείαις σου.

Κανὼν τῶν Ἀσωμάτων, Ὠδὴ γ΄

Ἦχος γ΄ . Τόξον ἔθραυσας ἐχθρῶν,

Στίχ. Ἀρχάγγελοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ῥεῖθρα βλύζων ἀγαθέ, καὶ ποταμοὺς χρηστότητος, τοὺς Ἀγγέλων ἔδειξας χορούς, κρυφιότητος τῆς σῆς, αἴγλῃ διαλάμποντας.

Στίχ. Ἀρχάγγελοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἵνα δείξῃς ἐμφανῶς, τοὺς θησαυροὺς τοῦ πλούτου σου, καὶ ἰσχύος Δέσποτα Χριστέ, τῆς σῆς δόξης κοινωνούς, τοὺς νόας παρήγαγες.

Στίχ. Ἀρχάγγελοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Τρόμῳ σοι λειτουργικῶς, Ἀγγελικαὶ λαμπρότητες, παρεστῶσαι μέλπουσιν ἀεί, τὴν σὴν δύναμιν, Χριστέ, τὴν ἀπειροδύναμον.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὅλον εἴληφεν ἐκ σοῦ, ἀνελλιπῶς τὸν ἄνθρωπον, ὁ Δεσπότης τοῦδε τοῦ παντός, Θεομῆτορ καὶ πηγήν, χάριτός σε ἔδειξεν.

Ὁ Κανὼν τῶν Ἁγίων.
Ὠδὴ γ΄
Ἦχος πλ. β΄. Οὐκ ἔστιν ἅγιος

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Τὸ σῶμα ξέοντες δεινῶς, οἱ τοῦ σκότους προστάται, λογισμοῦ σου τὸν τόκον, οὐκ ἐχαύνωσαν στοργῇ, τῇ θεϊκῇ δυνατῶς, ἐν ἀγάπῃ, Θύρσε κρατυνόμενον.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ὑπῆρξε Μάρτυς θαυμαστή, ἡ ἀθρόα σου ὄντως, πρὸς τὸν Κύριον πίστις! δι΄ ἧς ᾔσχυνας ἐχθρῶν, κακοπιστίαν βοῶν ὦ Φιλῆμον· Δοῦλος Χριστοῦ πέφυκα.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Πρὸς πάλην Μάρτυς τοῦ ἐχθροῦ, θαρσαλέως ἐξῆλθες, οὐκ ἀσπίδα, οὐ δόρυ, ἀλλὰ πίστιν ἀρραγῆ, ἐνθέως θωρακισθείς, καὶ ἀνδρείως, τοῦτον κατηδάφισας.

Δόξα...

Ἐφέσει θείᾳ κρατυνθείς, τὴν θεογενεσίαν, οὐρανόθεν κομίζῃ, δι΄ ὕδατος μυστικῶς, Φιλῆμον Μάρτυς Χριστοῦ, πρὸς ἀγῶνας, θείους δυναμοῦσάν σε.

Καὶ νῦν... Θεοτοκίον


Ἐν δύο φύσεσιν ὁ εἷς, τῆς Ἁγίας Τριάδος, ἐξ ἁγνῶν σου αἱμάτων, σαρκωθεὶς θεοπρεπῶς, προῆλθε τοὺς ἐξ Ἀδάμ, διασῴζων, Πάναγνε χρηστότητι.


Ὠδὴ γ΄, τοῦ Μηναίου

Ὁ Εἱρμὸς. Πλ. β΄

Οὐκ ἔστιν Ἅγιος ὡς σύ, Κύριε ὁ Θεός μου, ὁ ὑψώσας τὸ κέρας, τῶν πιστῶν σου Ἀγαθέ, καὶ στερεώσας ἡμᾶς, ἐν τῇ πέτρᾳ, τῆς ὁμολογίας σου».

Ἦχος λ΄ Βου




εν τη πε τρα της ο μο λο γι ας σου ου
ου

Κάθισμα
Ἦχος δ΄
Κατεπλάγη Ἰωσήφ

Εὐσεβείας θυρεῷ, περισκεπόμενοι καλῶς, καὶ τὸ ὅπλον τοῦ Σταυροῦ, ἀναλαβόμενοι στερρῶς, τὰς παρατάξεις κατέβαλον τοῦ Τυράννου, Μάρτυρες Χριστοῦ οἱ ἀξιάγαστοι, καὶ στέφος παρ΄ αὐτοῦ ἀναδησάμενοι, νικητικῶς χορεύουσιν ἀπαύστως, μετὰ τῶν ἄνω Δυνάμεων, καὶ τὸν Σωτῆρα, ἐκδυσωποῦσι, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα... Ἦχος πλ. δ΄
Τὴν Σοφίαν καὶ Λόγον

Ἱερῶς ἐναθλοῦντες οἱ ἱεροί, Ἀθλοφόροι Κυρίου τοὺς αἰκισμούς, τὰς ξέσεις τοῦ σώματος, καὶ τὸν βίαιον θάνατον, ἀδιστάκτῳ πίστει, ἀνδρείως ὑπέμειναν, καὶ τοῦ ἐχθροῦ τὸ θράσος, τελείως κατέβαλον· ὅθεν ἰαμάτων, δωρεὰν εἰληφότες, ἰῶνται τοὺς κάμνοντας, καὶ λυτροῦνται κακώσεως, τοὺς βοῶντας ἑκάστοτε· Πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Καὶ νῦν... Θεοτοκίον


Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινήν, ἀπὸ βρέφους μολύνας ὁ μιαρός, καὶ λόγοις καὶ πράξεσιν, ἐμαυτὸν κατερρύπωσα, καὶ οὐκ ἔχω τὶ πράξω, ἢ ποῦ καταφεύξομαι, ἀλλ΄ ουδ΄ ἄλλην ἐλπίδα, πλήν σου Κόρη ἐπίσταμαι· Φεῦ μοι ὁ ἀχρεῖος! διὰ τοῦτο ἱκέτης, πρὸς σὲ τὴν πανάχραντον, νῦν προστρέχω καὶ δέομαι, ὁμολογῶν σοι τό, Ἥμαρτον· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· εἰς σὲ γὰρ πᾶσαν ἐλπίδα, ἀνέθηκα Δέσποινα.


Ὠδὴ στ΄, τοῦ Μηναίου

Πλ. β΄. Ὁ Εἱρμὸς

Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμών, βοῶ σοι· Ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου Πολυέλεε.

Ἦχος λ΄ Βου




βο ω σοι α να γα γε εκ φθο ρας την ζω ην
μου πο λυ ε λε ε ε ε

Κοντάκιον Ἦχος δ΄
Ἐπεφάνης σήμερον

Τοὺς φωστῆρας ἅπαντες, τῆς Ἐκκλησίας, συνελθόντες σήμερον, ἐν ἐγκωμίοις ἱεροῖς, ἀνευφημοῦντες ὑμνήσωμεν, ὡς ἀθλοφόρους Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Συναξάριον

Τῇ ΙΔ΄ τοῦ αὐτοῦ μηνός, Ἄθλησις τῶν Ἁγίων Μαρτύρων, Θύρσου, Λευκίου καὶ Καλλινίκου.

Στίχοι

Οὐ δένδρινόν σε, Θύρσε, θύρσον ὁ πρίων,
Πρὸ τῆς τελευτῆς εὖρεν, ὡς ῥᾷστα πρῖσαι.
Ὁ πνεῦμα λευκὸς Λεύκιος, τμηθεὶς ξίφει,
Τὸ σῶμα βάπτει φοινικοῦν ἐξ αἱμάτων.
Ὁ Καλλίνικος, ἐκκοπεὶς τὸν αὐχένα,
Ὑπῆρξε Καλλίνικος ἐκ τῶν πραγμάτων.
Πρῖσιν ἀλύξας, Θύρσε, θάνες δεκάτῃ γε τετάρτῃ.

Τῇ αὐτῇ ἡμέρᾳ , Μνήμη τῶν Ἁγίων Μαρτύρων, Φιλήμονος, Ἀπολλωνίου, Ἀρριανοῦ καὶ τῶν σὺν αὐτοῖς .

Στίχοι

Ἔτερπεν αὐλοῖς πρὶν Φιλήμων τοὺς φίλους,

Τανῦν δὲ τιμηθείς, τέρπεται τέρψιν ξένην.
Ἀπολλώνιον, υἱὸν Ὑψίστου θέσει,
Κτείνουσι υἱοὶ τῆς ἀπωλείας ξίφει.
Τὸν Ἀρριανὸν ἐργάται πονηρίας.
Ἔργον θαλάσσης δεικνύουσιν ἀφρόνως.

Τῇ αὐτῇ ἡμέρᾳ , Μνήμη τῶν τεσσάρων Προτικτόρων, τῶν συναθλησάντων τῷ Ἁγίῳ Ἀρριανῷ.

Στίχοι

Βάπτισμα πόντος τοῖς Προτίκτορσι ξένον,
Φοροῦσι σάκκους, ὡς στολὰς ἐμφωτίους.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ, ἧς παρ΄ ἐλπίδα πᾶσαν ἐλυτρώσατο ἡμᾶς ὁ Φιλάνθρωπος Κύριος.

Στίχοι

Ἔσεισας, ἀλλ΄ ἔστησας αὖθις γῆν Λόγε.
Τῆς σῆς γὰρ ὀργῆς οἶκτός ἐστι τὸ πλέον.

Ταῖς τῶν ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον, καὶ σῶσον ἡμᾶς. Ἀμήν.


Ὠδὴ η΄, τοῦ μηναίου


Ἦχος πλ. β΄ . Ὁ Εἱρμὸς

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον,

Ἐκ φλογὸς τοῖς Ὁσίοις δρόσον ἐπήγασας, καὶ Δικαίου θυσίαν ὕδατι ἔφλεξας· ἅπαντα γὰρ δρὰς Χριστέ,, μόνῳ τῷ βούλεσθαι· Σὲ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἦχος λ΄ Βου







Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτὸς...

Τιμιωτέρα πλ. β΄ ἤχου.

Ἦχος  Δι

Σπίχος α΄ 


Με γα λυ νει η ψυ χη μου




τον Κυ ρι ον και η γαλ λι α σε το πνεύ




μα μου ε πι τω Θε ω τω σω τη ρι μου




Τ̈ην Τι μι ω τε ραν των Χε ρου βιμ



και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα




φιμ την α δι α φθο ρως Θε ον Λο γον τε



κου σαν την ο ον τως Θε ο το κον Σε με γα




λυ νο με εν

Σπίχος β΄ 


Ο τι ε πε βλε ψεν ε πι



την τα πει νω σιν της δου λης αυ του ι


δου γαρ α πο του νυν μα κα ρι ου σι με


πα σαι αι γε νε αι


Την Τι μι ω τε ραν των Χε ρου βιμ



και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα



φιμ την α δι α φθο ρως Θε ον Λο γον τε


κου σαν την ο ον τως Θε ο το κον Σε με γα



λυ νο με εν


Σπίχος γ΄



Ο τι ε ποι η σε μοι με


γα λει α ο Δυ να τος και α γι ον



το ο νο μα αυ του και το ε λε ος


αυ του εις γε νε αν και γε νε αν τοις φο βου


με νοις αυ τον
Τ ην Τι μι ω τε ραν των Χε ρου βιμ
και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα
φιμ την α δι α φθο ρως Θε ον Λο γον τε
κου σαν την ο ον τως Θε ο το κον Σε με γα
λυ νο με εν
Σπίχος δ΄
Θ ποι η σε κρα τος εν βρα
χι ο νι αυ του δι ε σκορ πι σεν υ
πε ρη φα νους δι α νοι α καρ δι ας αυ
των
Τ ην Τι μι ω τε ραν των Χε ρου βιμ


και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα


φιμ την α δι α φθο ρως Θε ον Λο γον τε


κου σαν την ο ον τως Θε ο το κον Σε με γα


λυ νο με εν
Σπίχος ε΄
Κα θει λε δυ να στας α πο
θρο νων και υ ψω σε τα πει νους πει νων τας
ε νε πλη σεν α γα θων και πλου τουν
τας ε ξα πε στει λε κε νους


Τ ην Τι μι ω τε ραν των Χε ρου βιμ



και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα



φιμ την α δι α φθο ρως Θε ον Λο γον τε



κου σαν την ο ον τως Θε ο το κον Σε με γα


λυ νο με εν

Σπίχος στ΄


Ἄν τε λα βε το Ισ ρα ηλ


παι δος αυ του μνη σθη ναι ε λε ους κα


θως ε λα λη σε προς τους πα τε ρας η


μων τω Α βρα αμ και τω σπερ μα τι αυ


του ε ως αι ω ω νος


Τ΄ην Τι μι ω τε ραν των Χε ρου βιμ


και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα



φιμ την α δι α φθο ρως Θε ον Λο γον τε


κου σαν την ο ον τως Θε ο το κον Σε με γα



Εἶτα ψάλλεται Ὁ Εἱρμὸς
τῆς θ΄ ᾠδῆς τοῦ κανόνος τοῦ Μηναίου
Ἦχος πλ. β΄ .

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὃν οὐ τολμᾷ Ἀγγέλων ἀτενίσαι τὰ τάγματα· διὰ σοῦ δὲ Πάναγνε, ὡράθη βροτοῖς, Λόγος σεσαρκωμένος· ὃν μεγαλύνοντες, σὺν ταῖς οὐρανίαις στρατιαῖς σὲ μακαρίζομεν.



Ἦχος λ Βου


Ἄ ξι ον ε στιν ως α λη θως μα κα ρι
ζειν σε την Θε ε ο το κον την α ει μα
κα ρι στον και πα να μω μη τον και μη τε
ρα του Θε ου η μων την τι μι ω τε ε
ραν τω Χε ρου βιμ και εν δο ξο τε ραν α
συγ κρι τως των Σε ρα φιμ την α δι α φθο
ο ρως Θε ον Λο γο ον τε κου σαν την ο ον
τως Θε ο το ο ο κον σε με γα λυ υ νο
με ε εν

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ

Τῇ Δευτέρᾳ:
Ἦχος γ΄.
Αὐτόμελον

Ὁ οὐρανὸν τοῖς ἄστροις, κατακοσμήσας ὡς Θεός, καὶ διὰ τῶν σῶν Ἀγγέλων, πᾶσαν τὴν γῆν φωταγωγῶν, Δημιουργὲ τῶν ἁπάντων, τοὺς ἀνυμνοῦντάς σε σῷζε.

Θεοτοκίον Ὅμοιον

Ὁ γλυκασμὸς τῶν Ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, Χριστιανῶν ἡ προστάτις, Παρθένε μῆτερ Κυρίου, ἀντιλαβοῦ μου καὶ ῥῦσαι, τῶν αἰωνίων βασάνων.

ΑΙΝΟΙ

ΨΑΛΜΟΣ ΡΜΗ΄ (148)

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

ΨΑΛΜΟΣ ΡΜΘ΄ (149)

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ Ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ , ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον, δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

ΨΑΛΜΟΣ ΡΝ΄ (150)

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ .

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλλαλαγμοῦ, Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα... Καὶ νῦν...

Ὁ προεστώς:

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀναγνώστης χῦμα τό:

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ΄ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ΄ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος:

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι Θεός ἐλέους, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ πνεύματί σου.

ὁ διάκονος: Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός: Σοί, Κύριε.

Ὁ Ἱερεύς: Τὴν εὐχὴν τῆς κεφαλοκλισίας.....

Ὁ Ἱερεύς: Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.


Ὁ χορός: Ἀμήν.


Καὶ ἀρχόμεθα ψάλλειν τὰ Ἀπόστιχα τῶν Αἴνων.

ΑΠΟΣΤΙΧΑ ΤΩΝ ΑΙΝΩΝ

Κατανυκτικὰ. Ἦχος γ΄.


Τὸν διεσπαρμένον μου νοῦν συνάγαγε Κύριε, καὶ τὴν χερσωθεῖσάν μου καρδίαν καθάρισον, ὡς τῷ Πέτρῳ διδούς μοι μετάνοιαν, ὡς τῷ Τελώνῃ στεναγμόν, καὶ ὡς τῇ πόρνῃ δάκρυα, ἵνα μεγάλῃ τῇ φωνῇ κραυγάζω σοι· ὁ Θεὸς σῶσόν με, ὡς μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.





Στίχ. Ἐνεπλήσθημεν τὸ πρωΐ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν. Ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφρανθείημεν, ἀνθ᾽ ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά· καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Πολλάκις τὴν ὑμνῳδίαν ἐκτελῶν, εὑρέθην τὴν ἁμαρτίαν ἐκπληρῶν, τῇ μὲν γλώττῃ ᾄσματα φθεγγόμενος, τῇ δὲ ψυχῇ ἄτοπα λογιζόμενος, ἀλλ᾽ ἑκάτερα διόρθωσον, Χριστὲ ὁ Θεός, διὰ τῆς μετανοίας καὶ σῶσόν με.




κα τε ρα δι ορ θω σον Χρι στε ο Θε ος



δι α της με τα νοι ας και ε λε η σον με

Μαρτυρικὸν.

Ἦχος γ΄.


Στίχ. **Κ**αὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ΄ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ΄ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.


Τῶν ἁγίων Ἀθλοφόρων τὴν μνήμην, δεῦτε λαοὶ ἅπαντες τιμήσωμεν, ὅτι θέατρον γενόμενοι Ἀγγέλοις καὶ ἀνθρώποις, τὸν τῆς νίκης στέφανον παρὰ Χριστοῦ ἐκομίσαντο, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.


Τ ων α γι ων Α θλο φο ο ρων την μνη


μην δευ τε λα οι α παν τες τι μη σω ω μεν


ο τι θε α τρον γε νο με νοι Αγ γε λοις



και αν θρω ποις τον της νι κης στε φα νον πα




Δόξα... Καὶ νῦν... *Θεοτοκίον Ἦχος γ΄*

Μεγάλη τοῦ Σταυροῦ σου

Ἀγγέλων οὐρανίων ὄντως ὑπερέχουσα, τῶν ἐπὶ γῆς ἀνθρώπων, προσάγαγε τὴν δέησιν, Παναγία τῷ Δεσπότῃ τῶν ἁπάντων, σωθῆναι τοὺς ἐν πίστει, ὁμολογοῦντάς σε, ἀληθῆ Θεοτόκον.




ρε χου σα των ε πι γης αν θρω πων προ σα
γα γε τη ην δε η η σιν Πα να γι α τω Δε
σπο τη τω ων α πα α αν των σω θη ναι τους
εν πι ι στει ο μο λο γουν τας σε α λη θη
Θε ε ο το κο ο ο ο ο ο ον

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωΐ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ΄)

Δόξα... Καὶ νῦν ...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν ...


Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.


Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

Ἀπολυτίκιον τῶν Ἀσωμάτων
Ἦχος δ΄

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι, τειχίσητε ἡμᾶς, σκέπῃ τῶν πτερύγων, τῆς ἀΰλου ὑμῶν δόξης, φρουροῦντες ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας· Ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς, ὡς Ταξιάρχαι τῶν ἄνω Δυνάμεων.


Ἀπολυτίκιον Ἦχος δ΄





Δόξα... Καὶ νῦν ...


Τῇ Δευτέρᾳ πρωΐ, εἰς τὸ τέλος τοῦ Ὄρθρου.
Ἦχος δ΄.




Εἰς τὴν Θείαν Λειτουργίαν


ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος πλ. Νη



ΕΤΕΡΑ




4.
Κυ ρι ε ε ε λε η σο ο ον
5.
Κυ ρι ε ε λε ε η σον
6.
Κυ ρι ε ε λε ε ε η σον
7.
Κυ ρι ε ε λε η σον
8.
Κυ ρι ε ε λε η σον
9.
Κυ ρι ε ε λε η σον
10.
Κυ ρι ε ε λε ε η σον
11.
Κυ ρι ε ε λε ε ε η σον
12.
Οι Κυ ρι ε


Ἀντίφωνο Α΄

Ἦχος Δι




Ἀ μη ην

Σπχ. α΄




Ἀ γα θον το ε ξο μο λο γει σθαι τω Κυ ρι ω και ψαλ λειν τω ο νο μα τι σου Υ ψι στε




Θ αις πρε σβει αις της Θε ο το κου Σω τερ σω σον η μας

Σπχ. β΄



Θ ου α ναγ γε λειν τω πρω ι το ε λε ος σου και την α λη θει αν σου κα τα νυ κτα





Θ αις πρε σβει αις της Θε ο το κου Σω



τερ σω σον ημας

Σπχ. γ΄


Ο τι ευ φρα νας με Κυ ρι ε



εν τοις ποι η μα σι σου και εν τοις ερ


γοις των χει ρων σου α γαλ λι α σο μαι



Ταις πρε σβει αις της Θε ο το κου Σω


τερ σω σον ημας

Σπχ. δ΄

Ο τι ευ θυς Κυ ρι ος ο Θε


ος η μων και ουκ ε στιν α δι κι α



εν αυ τω


Ταις πρε σβει αις της Θε ο το κου Σω


τερ σω σον ημας

Δόξα Πατρὶ...Καὶ νῦν...

Το τελευταίον.





Ἀντίφωνο Β΄


Ἦχος Δι




Σπχ. α΄






Σπχ. β΄
Και γαρ εστερεωσε την
οικουμενην ητις ουσαλευθησε
ται
Πρεσβειαις των αγιων σου σωσον η
μας Κυριε
Σπχ. γ΄
Θαυμαστοι οι μετεωρι
σμοι της θαλασσης θαυμαστος εν υψη
λοις ο Κυριος
Πρεσβειαις των αγιων σου σωσον η
μας Κυριε
Σπχ. δ΄
Ταμαρτυρια σου επι



στω θη σαν σφο δρα τω οι κω σου πρε πει



α γι α σμα Κυ ρι ε εις μα κρο τη


τα η με ρων


Πρε σβει αις των α γι ων σου σω σον η



μας Κυ ρι ε



Δο ξα Πα τρι και Υι ω και Α γι



ω Πνευ μα τι


Και νυν και α ει και εις τους αι ω νας


των αι αι ω νων Α μην


Ο μο νο γε νης Υι ος και Λο γος


του Θε ου α θα να τος υ πα α α αρ χων


και κα τα δε ξα με νος δι α την η
με τε ραν σω τη ρι ι αν σαρ κω θη
ναι εκ της Α γι ας Θε ο το κου και α
ει παρ θε νου Μα ρι ας α τρε ε πτως ε
αν θρω πη σας σταυρω θεις τε Χρι στε ο Θε
ος θα να α τω ω θα να τον πα τη σας ει
εις ων της Α γι ας Τρι α δος συν δο ξα
ζο ο με νος τω Πα τρι και τω Α γι ω Πνευ
μα τι σω σον η μα ας


Ἀντίφωνο Γ΄
Ἦχος Δι

Σπχ. α΄ Δεύτε ἀγαλλιάσωμεν τῷ Κυρίῳ ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς ψάλλοντας σοι ἀλληλούϊα

Σπχ. β΄ Προφθάσωμεν τὸ προσώπον αὐτοῦ ἐν ἐξομολογήσει καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς


εν Α γι οις θαυ μα στος ψαλ λον τας Σοι


αλ λη λού ι α

Σπχ. γ΄


Ο τι Θε ος με γας Κυ ρι ος


και βα σι λευς με γας ε πι πα σαν την



γην


Σω σον η μα ας Υι ε Θε ου ο εν


Α γι οις θαυ μα στος ψαλ λον τας Σοι αλ λη


λού ι α α α α


Εἰσοδικό



Δεῦ τε προ σκυ νη σω μεν και προ σπε σω
μεν Χρι στω Σω σον η μα ας Υι ε Θε ου
ο εν Α γι οις θαυ μα στος ψαλ λον τας
Σοι αλ λη λού ι α

Ἀπολυτίκιον τῶν Ἀσωμάτων
Ἦχος δ΄

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι, τειχίσητε ἡμᾶς, σκέπῃ τῶν πτερύγων, τῆς ἀΰλου ὑμῶν δόξης, φρουροῦντες ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας· Ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς, ὡς Ταξιάρχαι τῶν ἄνω Δυνάμεων.

Ἀπολυτίκιον Ἦχος δ΄





Ἀπολυτίκιον τοῦ Ναοῦ.


Κοντάκιον

Ἦχος β΄

Τῇ Δευτέρᾳ, τῶν Ἀρχαγγέλων

Ἀρχιστράτηγοι Θεοῦ, λειτουργοὶ θείας δόξης, τῶν ἀνθρώπων ὁδηγοί, καὶ ἀρχηγοὶ τῶν Ἀσωμάτων, τὸ συμφέρον ἡμῖν αἰτήσασθε, καὶ τὸ μέγα ἔλεος, ὡς τῶν Ἀσωμάτων Ἀρχιστράτηγοι.

Ἦχος Δι



ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΔΕΥΤΕΡΑ ΚΗ΄ ΕΒΔΟΜΑΔΟΣ

Προκείμενον. Ἦχος δ΄

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Στίχ. **Εὐ**λόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

Πρὸς Τιμόθεον Β΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα 2:20-26

Τέκνον Τιμόθεε, ἐν μεγάλῃ οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα, καὶ ἃ μὲν εἰς τιμήν, ἃ δὲ εἰς ἀτιμίαν. ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμήν, ἡγιασμένον καὶ εὔχρηστον τῷ δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον. τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε, δίωκε δὲ δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην μετὰ τῶν ἐπικαλουμένων τὸν Κύριον ἐκ καθαρᾶς καρδίας. τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδὼς ὅτι γεννῶσι μάχας· δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ΄ ἤπιον εἶναι πρὸς πάντας, διδακτικόν, ἀνεξίκακον, ἐν πραΰτητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μήποτε δῷ

αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ Διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ΄ αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα.

Ἀλληλούϊα. (γ΄) Ἦχος β΄


Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν.

Στίχ. Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ.

Κοινωνικόν

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.


Ἦχος λ̈ ̈ϙ Πα


Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Cοι Κυ ρι ε
Ἀ μη η η η ην
Και τω πνευ μα τι ι ι ι ι σϒ
Cοι οι οι οι οι Κυ ρι ε
Ἕτερον.
Cοι Κυ ρι ε ε ε ε ε ε
Ἀ α α μην


Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον,
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.


ΘΙC ΑΓΙΟC

Ἦχος πλ. δ΄ Πα Ἐναρμόνιος




Ἦχος γ΄τος



Θι ει ει ει ει εις Α α α α
γι ι ι ος ει ει ει ει ει εις
Κυ υ υ υ υ ρι ι ι ος Ι η σους
Χρι ι στος εις δο ο ο ξαν Θε ου Πα τρος
Α α μην


Ἦχος πα
Ἄ α α νες Α α α φες Συγ
χω ω ρησον Ο Θε ε ε ος Τα Πα
ρα α πτω ω μα α τα Η μων Τα
Ε κου ου σι ι ι α τα α κου ου
ου σι ι ι α τα εν γνω ω ω σει και τα εν
α γνοι οι οι οι οι οι οι οι οι α τα α εν
νυ υ κτι και ε ε εν η η με ε ε ε
ρα τα κα τα νουν και δι α α νοι οι αν τα
πα αν τα η μιν συγ χω ω ω ρη σον ως
α γα θο ος και αι αι φι λα α α α
αν θρω ω ω πο ο ο ος

Χριστέ το φῶς τό ἀληθινόν.

Ἦχος λ̈ Πα





η μω ω ων προς ερ γα σι ι ι αν τω
ω ω ων ε εν το ο ο λω ω ω ων σου
πρε σβει ει αις της πα να χρα αν του ου ου
σου ου Μη η η τρος και πα αν τω ων
σου ου των Α γι ω ω ων α μην


ΚΟΙΝΩΝΙΚΑ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ ΣΥΝΤΟΜΑ


Τῇ Δευτέρα (τῶν Ἀσωμάτων).

Ἦχος δ΄ Πα




Τῇ Δευτέρᾳ (τῶν Ἀσωμάτων)
Κοινωνικό. Ὁ ποιῶν τούς Ἀγγέλους.




ου ου ου ου ου ου ουςλει ει ει ει ει ει ει
ει ει ει ει ει ει ει ει ει ει ει λει τουρ
γου ου ουουςα αυ του ουου ου πυ υ
υ υ υ ρο ο ο ο ο ο ο ο ο
ο ο οος φλο ο ο ο ο ο ο ο ο ο
ο ο ο ο ο ο πυ ρο ο ος φλο ο
ο ο ο ο γα α α α Αλ λη λου ου ου
ουου ι α α α α α α α α


Εἴδομεν τὸ φῶς τό ἀληθινόν

Ἦχος Δι




Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί…

Ἦχος Δι








αι νε σε ως σου Κυ ρι ε ο πως υ μνη
σω μεν την δο ο ξαν σου ο τι η ξι ω
σας η μας των α γι ων σου με τα σχειν
μυ στη ρι ι ι ι ων τη ρη σον η μας
εν τω σω α γι α σμω ο λην την η
με ραν με λε ταν την δι και ο συ νην σου
Αλ λη λου ι α Αλ λη λου ι α Αλ λη
λου ου ι α α α

Εἴη τό ὄνομα...


Ἦχος Δι



Τόν Εὐλογούντα...






Ἦχος Βαρύς Ζω
Με Πα να γι ι α Δε
ε σποι να υ πο την σκε ε πην σου παν τες
οι δου ου λοι οι σου τρε ε χο μεν και πα ρα
α κα λου ου μεν σε ε ε οι οι α να α ξι οι
προ φθα σον και λυ τρω σε η μας α πο πα
σης πε ρι στα α σε ως και α πο θα α να τον τον
ε ξα α φνι κο ο ον και αι πα νο ο λε θρον
οι δα μεν ο ο τι δυ υ να σαι παν τα ο σα
αν θε ε ε λει εις και βου ου λε σαι Δε ε σποι
να α του κο ο ο σμου ελ πις και προ στα σι ι
α των πι στων Κε χα ρι τω με ε νη η ε


πα α κου σον των πα ρα α κα λου ουν των σε
ε ε ε ε ε ε ε ε ε

Θεοτοκία εἰς ἦχον Βαρύν
Μή καταπιστεύσεις με


Ἦχος Βαρύς ‒ Ζω




μυ θι ι ι αν ουκ εχω πλη ην σου Δε ε
σποι να του κο ο ο σμου ελ πις και προ στα
σι ι α των πι στων μη μου πα ρι ι δης
την δε ε η σι ι ιν το ο συμ φε ε ρον ποι η η
σον

Μεταβολή τῶν θλιβομένων

Ἦχος Βαρύς Ζω



Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.